Lessings

Drei Bücher Fabeln

ins

Altgriechische übersetzt

von

Prof. Dr. E. Neißner,
Oberlehrer am Gymnasium zum heiligen Kreuz in Dresden.

Leipzig,
Georg Reichardt Verlag.
1883.

Lessings

Drei Bücher Fabeln

ins

Altgriechische übersetzt

von

Prof. Dr. E. Neißner,
Oberlehrer am Gymnasium zum heiligen Kreuz in Dresden.

Leipzig,
Georg Reichardt Verlag.
1883.

Vorwort.

Bei einer meiner Wanderungen nach Stoffen zur Einübung der syntaktischen Regeln der griechischen Sprache stieß ich auf Lessings Fabeln, die mir alsbald sehr geeignet für diesen Zweck erschienen. Ich beschloß daher, einen Versuch mit deren Übersetzung zu machen — ein Gedanke, der durch einen werten Freund und gewiegten Philologen, dem ich auch manchen nützlichen Wink verdanke, noch dadurch bestärkt wurde, daß derselbe meinte, ein derartiges Buch werde vielen willkommen sein. So habe ich mich denn an die Arbeit gemacht, die bald munter von statten ging, bald längeren Aufenthalt verursachte. Ein Hauptaugenmerk dabei war, mich möglichst dem Originale anzuschließen und den schönen Stil Lessings nicht durch unnötige Veränderungen zu verwischen.

Aber werden die erlauchten Manen eines Plato, eines Demosthenes nicht dereinst mich beim Äakus verklagen, daß ich ihre Muttersprache gemißbraucht und so ihre Ruhe im Hades gestört habe? Sollte dies der Fall sein, so werde ich beim Minos, dem unparteiischen Richter, folgendes zur Verteidigung vorbringen: Was jene Meister des Stiles konnten, haben auch nicht alle Schriftsteller ihres Volkes in gleicher Weise vermocht. — Ich werde z. B. die Sammlungen Äsopischer Fabeln anführen, von denen manche nur „so so“ sind.

Vielleicht erhalte ich dann Verzeihung für mein Beginnen.

Noch mehr als jene fürchte ich aber die Lebendigen. Warum — sagt da wohl einer — hast du nicht das horazische „Nonumque prematur in annum“ befolgt? — Hochgeehrter, ich wäre gern diesem Rate nachgekommen, aber eine andere Instanz,

mein Herr Verleger, der auch griechisch versteht, meinte, er sei von den Proben befriedigt und wolle nun das ganze Manuskript haben.

Ich gab also dem Büchlein seinen Laufpaß, indem ich ihm noch auftrug, für freundliche Aufnahme dankbar zu sein und wohlgemeinten Tadel mit Ergebung und dem Versprechen der Besserung hinzunehmen.

Dresden, Juni 1883. D. V.

Η ΠΡΩΤΗ ΒΙΒΛΟΣ.

---

1. Φάσμα.

Ἐν βάθει ἐρημοτάτῳ ἐκείνης τῆς ὕλης, οὗ πολλῶν ἤδη θηρίων φωνηέντων ἐξήκουον, κρημνῷ μαλακῶς τὸ ὕδωρ καταῤῥηγνύντι παρακείμενος ἔσπευδον, ὅπως τῶν ἐμαυτοῦ μύθων τινὰ ἐκεῖνον τὸν λεπτόν τε καὶ ποιητικὸν ἐνδύσω κόσμον, ἐν ᾧ φαινόμενον χαίρειν ὁ Λαφονταίνιος τὸν μῦθον σχεδὸν παρὰ τὸ μέτριον συνείθικεν. Ἐφρόντιζον δή, ἠρούμην, ἀπέβαλλον, ἐκαιόμην τὸ μέτωπον — μάτην ταῦτα· οὐδὲν γὰρ ἐπεγίγνετο τῷ χάρτῃ. Τότε δὴ σφόδρα ἀχθόμενος ἀνεπήδησα· ἀλλ᾽ ἰδού — ἐξαίφνης αὐτὴ ἡ μυθοποιοῦσα ἐμοὶ παρέστη Μοῦσα.

Καὶ μειδιάσασα εἶπεν· ὦ μαθητά, τί οὗτος ὁ ἀχάριστος μόχθος; δεῖ δήπου τῇ ἀληθείᾳ τῆς τοῦ μύθου χάριτος· ἀλλὰ τί τῷ μύθῳ δεῖ τῆς χάριτος, ἢ ἐστι τῆς ἁρμονίας; Σύγε τὸ ἄρτυμα ἀρτύεις. Ἐξαρκεῖ γὰρ τό γ᾽ εὕρημα εἶναι τοῦ ποιητοῦ· ἀλλ᾽ οἱ λόγοι ἔστωσαν τοῦ ἁπλοῦ συγγραφέως καὶ τὸ νόημα τοῦ φιλοσόφου.

Ἐγὼ μὲν οὖν ἤμελλον ἀποκρινεῖσθαι, ἡ δὲ Μοῦσα ἠφανίσθη. Ἆρ᾽ ἠφανίσθη; ἤρετό τις τῶν ἀναγιγνωσκόντων. Εἰ γὰρ κατὰ τὸ εἰκὸς μᾶλλον ὤφελες ἐξαπατᾶν. Πρὸς οὓς κενοὺς λογισμοὺς ἡ ἀδυνασία σε παρήγαγε, τούτους οὐκ ἐξῆν τῇ Μούσῃ ὑποθέσθαι. Καίτοι ἐπίσυχνος μὲν ἡ τοιαύτη ἐξαπάτη —

Εὖ γ᾽, ὦ ἀναγνῶστα. Ἡ μὲν γὰρ Μοῦσά μοι οὐκ ἐφάνη, ἐμυθολόγησα δ᾽ αὔτως, ἐξ ὧν σὺ αὐτὸς τὸ παράδειγμα ἐποιήσω. Ἐγὼ δ᾽ οὔτε πρῶτος οὔτ᾽ ἔσχατος τὰ αὐτοσχεδιάσματα ὡς χρησμοὺς δαίμονός τινος ὄντα ἀπέδειξα.

2. *Μυοξὸς καὶ μύρμηξ.*

Μυοξὸς εἶπεν· ἄθλιοι ὑμεῖς οἱ μύρμηκες. Ἆρά τι ἄξιον πᾶν τὸ θέρος ἐργάζεσθαι, ὥστε τοσοῦτον συλλέγειν; εἰ γὰρ τὴν ἐμὴν ἀφθονίαν ὁρᾶν ὠφέλετε.

Πρὸς ταῦτα τῶν μυρμήκων τις· ἀλλ', ὦ τᾶν, ἔφη, εἰ αὕτη ἐστὶ πλείων τῶν ἀναγκαίων, οἱ ἄνθρωποι δικαιότατοί εἰσι ζητεῖν σε ὀρύττοντες καὶ τὰς ἀποθήκας σου ἐκκενοῦν καὶ ἐπὶ τῇ θ' ἁρπαγῇ καὶ τῇ πλεονεξίᾳ σε τὴν ψυχὴν ἀφαιρεῖσθαι.

3. *Λέων καὶ λαγώς.*

Λέοντι οἰκείως ἔχειν πρὸς λαγὼν γελοῖον οὐκ ἀνάξιον ἐδόκει. Ὁ δὲ λαγώς ποτ' αὐτὸν ἠρώτησεν· ἀλλ' ἆρ' ἀληθές, ὅτι ὑμᾶς τοὺς λέοντας φαῦλός τις ἀλεκτρυὼν ᾄδων οἷός τέ ἐστι ῥᾷστ' ἀποσοβῆσαι;

Καὶ μὴν ἀληθές γ', ἔφη ὁ λέων· πᾶσι γὰρ δῆλόν ἐστιν, ὅτι ἡμῖν τοῖς μεγάλοις θηρίοις πᾶσι φαυλότης τις ὀλίγη πρόσεστιν. Οἷον οἶμαι ἄν σε ἀκοῦσαι, ὅτι τῷ ἐλέφαντι γρυλλισμὸς συὸς ὀῤῥωδίαν τε καὶ ἔκπληξιν ἐμποιεῖ.

Ἄληθες; ἔφη ὑπολαβὼν ὁ λαγώς. Ἀλλὰ νῦν γε καὶ ξυνίημι, διὰ τί ἡμεῖς οἱ λαγῴ ὑπερφυῶς ὡς τοὺς κύνας φοβούμεθα.

4. *Ὄνος καὶ κέλης.*

Ὄνος πρὸς κέλητα περὶ δρόμου διαγωνίζεσθαι ἐτόλμησεν. Τῆς δὲ πείρας φαύλως ἀποβάσης ὁ ὄνος κατεγελάσθη. Ὁ δ'· ἀλλὰ γιγνώσκω, ἔφη, τί ἐγένετο τὸ αἴτιον· ἄκανθαν πρὸ ἐνίων μηνῶν πατήσας τὸν πόδα ἔτι ἀλγῶ.

Ὁμοίως Λιδεῤῥόλδιος ὁ ἱερολόγος· συγγιγνώσκετε, ἔφη, εἰ ἡ τήμερον δημηγορία μου οὔτ' ἀκριβὴς οὔτε κινητικὴ οὕτως ἐγένετο, οἵαν πρὸς ἐμοῦ, ὃς τὸν Μωσείμιον εὖ μιμοῦμαι, γενήσεσθαί τις ἂν ἐλπίσειε· βραγχῶ γάρ, ὥσπερ ἔξεστιν ἀκούειν, καὶ ταῦτα τὴν ἐνάτην ἡμέραν.

5. *Ζεὺς καὶ ἵππος.*

Ἵππος τῷ Διὸς θρόνῳ προσελθὼν ἔλεγεν· ὦ πάτερ θηρίων τε καὶ ἀνθρώπων, τῶν καλλίστων μὲν οἷς τὴν γῆν κεκόσμηκας ζῴοις με εἶναι λέγουσι, καὶ ἡ φιλαυτία τοῦτό με πιστεύειν κελεύει. Ὅμως δ᾽ ἆρ᾽ οὐκ ἂν ἔνια τῶν ὑπαρχόντων εἴη μεταλλακτέα εἰς τὸ βέλτιον;

Καὶ τί ποτ᾽ ἄν, ἔφη μειδιάσας ὁ θεὸς φιλοφρονούμενος, οἴει μεταλλακτέον εἶναι εἰς τὸ βέλτιον; εἰπέ· διδάσκομαι.

Ἴσως, ἔφη ὁ ἵππος, ἐλαφρότερος μὲν ἂν εἴην, εἰ τὰ σκέλη ἔχοιμι ὑψηλότερα καὶ ἰσχνότερα· ὁ δὲ τράχηλος κύκνειος ὢν τὸ μῆκος οὐκ ἄν με αἰσχύνοι· παχυτέρου δ᾽ ὄντος τοῦ στέρνου ἡ ἰσχὺς ἂν αὐξάνοιτο· καὶ ἐπειδή γε τὰ παιδικά σου, τὸν ἄνθρωπον, φέρειν πέφυκα, καλῶς ἂν ἔχοι, εἰ τὸ ἐφίππιον, ὃ ἐπιβάλλει μοι ὁ ἀγαθὸς ἱππεύς, ἐμπεφυκὸς εἴη.

Εἶεν, ἔφη ὁ Ζεὺς ὑπολαβών· περίμενε ὀλίγον χρόνον. Καὶ σεμνὸν βλέπων τὸν ποιητικὸν λόγον ἀφῆκεν. Ἔνθα δὴ ζωή τ᾽ ἐγένετο ἐν τῇ κονίᾳ καὶ συνεμίγνυτο ἔμψυχος ὕλη· καὶ ἐξαίφνης τῷ θρόνῳ παρέστη — ἡ κάμηλος ἡ αἰσχρά.

Ταύτην δ᾽ ἰδὼν ὁ μὲν ἵππος ἔφριξε καὶ δεινῶς ἐκπλαγεὶς ἔτρεσεν.

Ὁ δὲ Ζεύς· ἰδέ, ἔφη, τάδε μὲν ὑψηλότερα τὰ σκέλη καὶ ἰσχνότερα· ὅδε δ᾽ ὁ τράχηλος κύκνειος ὢν τὸ μῆκος· τόδε δὲ παχύτερον τὸ στέρνον· τόδε δὲ τὸ ἐμπεφυκὸς ἐφίππιον. Ἆρα σύ, ὦ ἵππε, βούλει οὕτω σε μεταμορφώσω;

Ἔτι δὲ τρέμοντος τοῦ ἵππου· ἄπιθι, ἔφη ὁ Ζεύς· τὸ μὲν νῦν εἶναι ἀζήμιος ὢν δεδίδαξο. Ἵνα δὲ τὴν ὕβριν ἐνιαχοῦ μεταμελόμενος μνημονεύῃς, σύ, ὦ νέον ζῷον, διάμεινον — ταῦτ᾽ εἰπὼν ὁ Ζεὺς τὴν κάμηλον ὡς διασώσων προσέβλεψε — καὶ μηδέποθ᾽ ὁ ἵππος ἰδών σε ἀτρεμείτω.

---

6. *Πίθηκος καὶ ἀλώπηξ.*

Πίθηκος πρὸς ἀλώπεκα ἐμεγαλαυχήσατο· ὀνόμαζέ μοι θηρίον οὕτω δεξιόν, ὃ οὐκ ἂν οἷός τε εἴη μιμεῖσθαι.

Ἡ δ' ἀλώπηξ ἀπεκρίνατο· σὺ δ' ὀνόμαζέ μοι θηρίον οὕτω ταπεινόν, ᾧ ἂν ἐπέλθοι σὲ μιμεῖσθαι.

Ὦ συγγραφεῖς τοῦ ἐμοῦ ἔθνους — ἆρα χρή με ἔτι σαφέστερον εἰπεῖν;

7. Ἀηδὼν καὶ ταὼς.

Ἀηδὼν ὁμιλητικὴ ἐν τοῖς τὰ δένδρα κατοικοῦσιν ὄρνισι πολλοὺς μὲν φθονερούς, οὐδένα δὲ φίλον εὗρεν. Ἐλπίσασα δ' ἐν ἄλλῳ τινὶ γένει φίλον ἴσως τεύξεσθαι πρὸς ταῶνα προσφιλῶς κατέπτετο.

Ὦ καλὲ ταῶς, θαυμάζω σε, ἔφη. Καὶ ἐγὼ σέ, ὦ χαρίεσσα ἀηδών. — Ἄγε δή, ἔφη ἡ ἀηδών, φίλοι γενώμεθα· οὐδ' ἔσται οὐδεμία αἰτία τοῦ ἀλλήλοιν φθονεῖν· σὺ μὲν γὰρ ἡδὺς εἶ ὁρᾶν, ἐγὼ δ' ἀκούειν.

Καὶ ἐγένοντο φίλοι ἡ ἀηδὼν καὶ ὁ ταῶς.

Οὕτω Κνελλέριος καὶ Πόπιος πρὸς ἀλλήλους οἰκειότερον εἶχον ἢ Πόπιος καὶ Ἀδδίσων.

8. Λύκος καὶ ποιμήν.

Ποιμένος τινὸς δεινῷ λοιμῷ πᾶν τὸ ποίμνιον ἀφαιρεθέντος πυθόμενος λύκος ἦλθεν ὡς συλλυπηθησόμενος.

Ὦ ποιμήν, ἔφη, ἆρ' ὀρθῶς λέγουσι τοιαύτην σοι συμβῆναι συμφοράν; Ἆρα πᾶν ἀπέβαλες τὸ ποίμνιον; Φεῦ τοῦ φίλου καὶ πρᾴου καὶ πίονος ποιμνίου. Ἐλεῶ σε, ὥστε καὶ δάκρυσιν ἂν αἱματηροῖς κατατακῆναι.

Ὁ δὲ ποιμήν· χάριν σοι λέγω, ἔφη, ὦ λύκε. Ὁρῶ γάρ, ὅτι ὅλῃ τῇ ψυχῇ συμπάσχεις.

Πρὸς ταῦθ' Ὕλαξ, ὁ τοῦ ποιμένος κυών, εἶπεν· ἀλλὰ μὴν συμπάσχει, ὅταν ἐπὶ ταῖς ἑτέρων συμφοραῖς αὐτὸς κακῶς ἔχῃ.

9. Ἵππος καὶ ταῦρος.

Ἵππῳ σφοδρῷ, ὃν ἐλαύνων παῖς θαῤῥαλέος ἐφέρετο ἀγαλλόμενος, ταῦρος ἄγριος ἐπεβόησεν· ἔλεγχος· ὑπὸ παιδὸς οὐδέποτ' ἂν ἐλαθείην.

Ἀλλ' ἔγωγ', ἔφη ὁ ἵππος. Τίνα γὰρ ἂν δόξαν λάβοιμι παῖδα ἐκτραχηλίσας;

10. Τέττιξ καὶ ἀηδών.

Τέττιξ πρὸς ἀηδόνα· εὖ ἴσθι, εἶπεν, ὅτι ἀληθῶς εἰσιν, οἳ τὸ μέλος μου θαυμάζουσιν. Ἀλλὰ λέγε μοι, τίνες εἰσίν, ἔφη ἡ ἀηδών. Ὁ δὲ τέττιξ ἔλεγεν· οἱ φιλεργοὶ θερισταὶ ἡδέως μάλα μου ἀκροῶνται, οὓς οὐκ ἂν ἀρνηθείης μὴ οὐκ εἶναι χρησιμωτάτους τῆς ἀνθρώπων πολιτείας.

Πρὸς ταῦθ' ἡ ἀηδών· τοῦτο μέν, ἔφη, οὐκ ἂν ἀρνηθείην· ἀλλ' ὅμως ἐπὶ τῇ ἐκείνων συναινέσει οὐ δεῖ σε μεγαλύνεσθαι. Ἄνθρωποι γὰρ χρηστοί, οἵτινες παντάπασι τῇ ἐργασίᾳ τὸν νοῦν προσέχουσιν, οὐκ ἂν δήπου ἔχοιεν αἰσθήσεις τὰς ὀξυτέρας. Μὴ τοίνυν μέγα ἐπὶ τῷ σεαυτοῦ μέλει φρονήσῃς, πρὶν τὸν ῥᾴθυμον ποιμένα, ὃς αὐτὸς ἥδιστα αὐλεῖ, σιγῇ αὐτῷ ἐνθουσιάζοντα ὠτακουστῆσαι.

11. Ἀηδὼν καὶ ἱέραξ.

Ἱέραξ ἐπ' ἀηδόνα ᾄδουσαν ὁρμηθεὶς εἶπεν· ἐπεὶ οὕτω καλῶς ᾄδεις, ὡς ἡδεῖα ἔσῃ φαγεῖν.

Πότερον διὰ κακοήθειαν ἢ δι' εὐήθειαν ἔλεγεν ὁ ἱέραξ; Οὐκ οἶδα. Ἀλλὰ χθὲς ἤκουσά τινος λέγοντος· αὑτηὶ ἡ γυνὴ ἡ τοιαῦτα ποιήματα ποιοῦσα ἆρ' οὐκ ἂν εἴη γυνὴ χαριεστάτη; Νὴ Δί' οὗτός γε δι' εὐήθειαν.

12. Λύκος πολεμικός.

Λυκιδεὺς πρὸς ἀλώπεκα εἶπεν· ὁ ἐμὸς πατὴρ εὐκλεὴς ὢν ὡς δεινὸς ἦν πολεμεῖν. Οἷόν γε φόβον πᾶσι τοῖς ἐν τῇδε τῇ χώρᾳ ἐνέβαλεν. Πλειόνων γὰρ ἢ διακοσίων πολεμίων προϊόντος τοῦ χρόνου ἐκράτησε καὶ τὰς ψυχὰς αὐτῶν τὰς πονηρὰς εἰς Ἅιδου κατέπεμψεν. Τί οὖν θαυμαστόν, ὅτι χρόνῳ ποτέ τινος ἔτυχεν ἡττηθείς;

Οὕτως ἂν φαίη τις ἐπιτάφιον λόγον λέγων, ἔφη ἡ ἀλώπηξ· ὁ δὲ συγγραφεὺς σωφρονῶν ἐπιλέγοι ἄν· οἱ

μὲν διακόσιοι πολέμιοι, ὧν προϊόντος τοῦ χρόνου ἐκράτησεν, οἷες καὶ ὄνοι ἦσαν· ὁ δ' εἷς πολέμιος, οὗ ἡττήθη, ἦν ὁ πρῶτος ταῦρος, ᾧ ἐφορμῆσαι ἐτόλμησεν.

13. Φοίνιξ.

Μετὰ πολλοὺς αἰῶνας τῷ Φοίνικι ἔδοξέ ποτε αὖθις φανῆναι. Ἐφάνη τοίνυν, καὶ πάντα τὰ ζῷά τε καὶ οἱ ὄρνεις περὶ αὐτὸν συναθροισθέντες ἐθεώρουν καὶ ἐθαύμαζον καὶ ἐνθουσιαστικῶς εὐλόγουν.

Μετ' ὀλίγον δ' αὐτῶν οἱ βέλτιστοι καὶ ὁμιλητικώτατοι ἐλεημόνως ἀποτρέψαντες τοὺς ὀφθαλμοὺς καὶ οἰμώξαντες· τοῦ ἀθλίου Φοίνικος, ἔφασαν· εἵμαρται δὴ αὐτῷ δεινῶς μήτ' ἐρωμένην μήτε φίλον ἔχειν· μόνος γάρ ἐστι τούτου τοῦ γένους.

14. Χήν.

Χήν τις τῶν πτερῶν οὐκ ἀπολειπόντων τὴν νεογενῆ χιόνα μέγα φρονῶν ἐπὶ τούτῳ τῷ λαμπρῷ δώρῳ αὐτοφυεῖ ὄντι ᾤετο μᾶλλον δεῖν γενέσθαι κύκνος ἢ τοιοῦτος, οἷος ἐγεγένητο. Ὅθεν ἀπολιπὼν τοὺς ὁμοφύλους ἔρημος καὶ ἀγαλλόμενος ἐν τῇ λίμνῃ περιενήχετο, τότε μὲν ἐκτείνων τὸν τράχηλον ὡς πρὸς βίαν παύσων αὐτὸν τῇ βραχύτητι ἐλέγχειν αὐτόν, τότε δὲ πειρώμενος ἀπεργάζεσθαι ἐκείνην τὴν καμπὴν τὴν μεγαλοπρεπῆ, δι' ἣν ὁ κύκνος ἀξιώτατος εἶναι φαίνεται τοῦ εἶναι Ἀπόλλωνος ὄρνις. Ἀλλὰ μάτην ἐπονεῖτο· τοῦ γὰρ τραχήλου ἀκάμπτου ὄντος καίπερ μάλα σπουδάζων οὐδὲν ἄλλο διεπράξατο ἢ ὥστε χὴν μὲν καταγέλαστος, κύκνος δὲ μὴ γενέσθαι.

15. Δρῦς καὶ σῦς.

Σῦς πολυφάγος ὑπὸ δρυῒ ὑψηλῇ τοῦ καταπεπτωκότος καρποῦ εὐωχήθη, τὴν μὲν τῶν βαλάνων καταδάκνων, τὴν δ' ὥσπερ λαφύττων ἤδη τῇ ὄψει.

Ἡ δὲ δρῦς τὸ τέλος ἄνωθεν ἐβόησεν· ὦ ἀχάριστον

θηρίον. Τρέφει δὴ τοῖς ἐμοῖς καρποῖς οὐδ᾽ ἅπαξ εὐχαρίστως πρὸς ἐμὲ ἀναβλέπον.

Ταῦτ᾽ ἀκούσας ὁ σῦς ὀλίγον χρόνον ἀνεπαύσατο καταβιβρώσκων καὶ ὡς ἀποκρινόμενος ἐγρύλλιζε· μὰ Δί᾽, οὐκ ἂν παρέλειπον εὐχαρίστως πρὸς σὲ ἀποβλέπειν, εἴπερ ᾔδειν σε τὰς βαλάνους δι᾽ ἐμὲ καθεμένην.

16. Σφῆκες.

Σαπρότης τε καὶ σῆψις τὸ σοβαρὸν πολεμικοῦ ἵππου ὑπὸ τῷ τολμηρῷ ἱππεῖ ἀναιρεθέντος σῶμα διέφθειραν. Τοῖς δ᾽ ἐρειπίοις τούτου, ὃ ἐγένετο, ἡ φύσις ἡ διὰ παντὸς ἐνεργοῦσα νέον τι φύειν χρῆται. Οἷον καὶ ἑσμὸς νέων σφηκῶν ἐκ τῶν ᾠοῖς κατακεχυμένων κενεβρείων ἐξέπτετο. Καὶ οἱ σφῆκες ἐβόων· ὦ Ζεῦ, ὡς θείας ἐσμὲν γενέσεως. Ὁ γὰρ μεγαλοπρεπέστατος ἵππος, ᾧ ὁ Ποσειδῶν ἥδεται, ἡμᾶς ἐγέννησεν.

Ταύτης τῆς θαυμασίας ἀλαζονείας ἀκούσαντι τῷ ἐπιμελεῖ λογοποιῷ ἔννοια ἐνεγένετο τῶν νῦν Ἰταλῶν, οἳ ὡς Ῥωμαίων τῶν παλαιῶν τε καὶ ἀειμνήστων ἀπόγονοι δὴ ὄντες μεγαλύνονται, διότι ἐπὶ τῶν τάφων αὐτῶν γεγόνασιν.

17. Στρουθοί.

Νεὼς παλαιός, ὃς στρουθοῖς ἀναριθμήτοις καλιὰς παρεῖχεν, ἐπεσκευάσθη. Τούτου δὲ λαμπρῶς ἀνακαινισθέντος οἱ στρουθοὶ τὰ πρόσθεν οἰκητήρια ἀναζητοῦντες κατῆλθον. Ἀλλ᾽ ἅπαντα λίθοις ἐμπεφραγμένα εὗρον. Ὅθεν ἔκραγον· τί τούτου τοῦ μεγάλου οἰκοδομήματος ὄφελος; ἄγετ᾽ ἐκλίπωμεν τὸ ἄχρηστον λίθων σώρευμα.

18. Στρουθοκάμηλος.

Στρουθοκάμηλος γιγαντώδης ἐφώνησεν· ἦ μὴν νῦν πτήσομαι — καὶ πᾶν τὸ ὀρνίθειον γένος σπουδαίως καραδοκοῦντες αὐτὸν περιέστασαν. Καὶ πάλιν ἐφώνησεν· ἦ μὴν νῦν πτήσομαι — ἅμα τὰς δεινὰς πτέρυγας ἐπὶ πολὺ ἐκπεταννὺς ὥσπερ ναῦς ἱστιοδρομοῦσα κατὰ τὸ δάπεδον

οὕτως ἐφέρετο, ὥστε μήδ᾽ ὁπωστιοῦν τοῖς ποσὶν ἀπολιπεῖν αὐτό.

Ἰδού, αὕτη ἐστὶν εἰκὼν ποιητικὴ ἐκείνων τῶν ψυχρῶν ἀνθρώπων, οἵτινες καίπερ τοῖς πρώτοις στίχοις τῶν τὸ μέγεθος ὑπερφυῶν ᾠδῶν σοβαρὰ πτερὰ ἐπιδεικνύμενοι καὶ ὑπὲρ νεφέλας τε καὶ ἀστέρας ἄνω ἐνεχθήσεσθαι μέλλοντες ὅμως ἐν τῇ κονίᾳ ἐμμένουσιν.

19. Στρουθίον καὶ στρουθοκάμηλος.

Στρουθίον πρὸς στρουθοκάμηλον ἔλεγε· μεγέθει τε καὶ ῥώμῃ, ὅσον σοι δοκεῖ, ἐπαίρου. Ἐγὼ δ᾽ ὅμως μᾶλλόν εἰμι ὄρνις ἢ σύ. Σύγε γὰρ οὐχ οἷός τε πέτεσθαι· ἐγὼ εἰ καὶ μὴ ὑψηλὰ πέτομαι καὶ χρόνον διαλιπόν, ἀλλ᾽ οὖν πέτομαί γε.

Ὁ σκολιὸν ἱλαρὸν ἢ ᾀσμάτιον ἐρωτικὸν ἀπόνως ποιῶν εὐφυέστερός ἐστιν ἢ ὁ ψυχρὰν καὶ μακρὰν Ἑρμαννιάδα γράφων.

20. Κύνες.

Κύων λασιόθριξ μακρὰν ἀποδημήσας εἶπε· φεῦ τῆς τοῦ ἡμετέρου γένους ἐνθάδε εἰς τὸ χεῖρον μεταβολῆς. Ἀλλ᾽ ἐν τῇ τηλοῦ γῇ, ἣν οἱ ἄνθρωποι Ἰνδίαν καλοῦσιν, ἐκεῖ, ἐκεῖ ἔτι εἰσὶ γνήσιοι κύνες· κύνες, ὦ ἀδελφοί — οὐ πιστεύσετέ μοι τόδε καίπερ αὐτόπτῃ γενομένῳ — οἵτινες οὐδὲ λέοντα φοβούμενοι θρασέως αὐτοῦ ἅπτονται.

Ἀλλ᾽, ἔφη σπουδαιολογῶν κύων θηρευτικὸς ἐρωτῶν τὸν λασιότριχα, ἆρα καὶ ἐπικρατοῦσι τοῦ λέοντος;

Ὁ δ᾽ ἀπεκρίνατο· ἆρ᾽ ἐπικρατοῦσιν; Τοῦτο μὲν οὐκ ἂν φάσκοιμι. Ἀλλὰ μέντοι λόγισαι τὸ λέοντι συμπεσεῖν.

Καὶ ὁ θηρευτικὸς κύων· μὰ Δί᾽, ἔφη, εἰ μὴ ἐπικρατοῦσιν αὐτοῦ οἱ ἐν Ἰνδίᾳ κύνες οἱ ὑπὸ σοῦ ἐπαινούμενοι, τοσούτου δέουσιν ἀμείνους ἡμῶν εἶναι, ὥστ᾽ ἂν παρὰ πολὺ ἠλιθιώτεροι εἶεν.

21. Ἀλώπηξ καὶ πελαργός.

Ἀλώπηξ πρὸς πελαργὸν μακρὰν ἀποδημήσαντα εἶπεν· ἀλλὰ λέγε μοί τι περὶ τῶν ξένων χωρῶν, ὅσας εἶδες.

Ἐνταῦθα ὁ πελαργὸς ἤρχετο καταλέγων πᾶν τέλμα τε καὶ πάντα λειμῶνα, οὗ τὰ εὐχυμότατα ἑρπετὰ καὶ τοὺς πιοτάτους βατράχους εὐωχήθη.

Ὡσαύτως φαίη ἄν τις· πολὺν χρόνον, ὦ φίλτατε, ἐγένου ἐν Λουκοτοκίᾳ. Παρὰ τίνι ἐκεῖ ἄριστ᾽ ἄν τις δειπνοίη; τίσι δὲ τῶν ἐκεῖ οἴνων μάλιστα ἥσθης;

---

22. Γλαῦξ καὶ ἀνὴρ ἀνορύττων θησαυρούς.

Ἐκεῖνος ὁ θησαυροὺς ἀνορύττων ἦν ἀγνωμονέστατος ἀνήρ. Εἰς γὰρ τὰ ἐρείπια παλαιᾶς τινος λῃστῶν ἄκρας τολμήσας εἰσιέναι καὶ αὐτοῦ κατιδὼν γλαῦκα μῦν ἰσχνὸν ἀναρπάσασαν καὶ κατεσθίουσαν· ἆρα μή, ἔφη, τὸ τοιοῦτο σοὶ πρέπει, τῇ φιλοσόφῳ, ἣν Ἀθηνᾶ φιλεῖ;

Ἡ δὲ γλαῦξ ἀπεκρίνατο· πῶς γὰρ οὔ; Ἆρα διὰ τὸ σιγῇ φιλοθεωρεῖν ἐκ τοῦ οὐρανοῦ οἷα τέ εἰμι τρέφεσθαι; Πάνυ γ᾽ οἶδα, ὅτι ὑμεῖς οἱ ἄνθρωποι τοῦτο τοὺς ὑμετέρους σοφοὺς κελεύετε.

---

23. Χελιδονιδεύς.

Χελιδὼν μύρμηκας τοὺς σπουδαίους ἠρώτησε· τί ὑμεῖς ἐνθάδε πράττετε; Οἱ δὲ ταχὺ ἀπεκρίναντο· θησαυρίζομεν εἰς τὸν χειμῶνα.

Σωφρονεῖτε, ἔφη ἡ χελιδών· τοῦτο καὶ ἐγὼ πράξω. Καὶ αὐτίκα ἀράχνας τε πολλὰς καὶ μυίας τεθνηκυίας εἰς τὴν ἑαυτῆς καλιὰν ὑπῆρξε κομίζουσα.

Ἀλλὰ πρὸς τί δήποτε τοῦτο; τὸ τέλος ἠρώτησεν ἡ μήτηρ. Πρὸς τί; Θησαυρὸς εἰς χειμῶνα τὸν χαλεπόν, ὦ μῆτερ· καὶ σὺ δὲ σύλλεγε. Οἱ γὰρ μύρμηκές με οὕτως εὐλαβεῖσθαι ἐδίδαξαν.

Ἡ δὲ μήτηρ· ἀλλ᾽ ἀφίει, ἔφη, μύρμηξι τοῖς ἐπιγείοις ταύτην τὴν μικρὰν σοφίαν· ἃ γὰρ ἐκείνοις πρέπει, ταῦτ᾽ οὐ πρέπει χελιδόσιν ἀμείνοσιν οὔσαις. Ἡμῖν γὰρ ἡ εὔνους

φύσις καλλίω τύχην ἔνειμεν. Ὅταν γὰρ τὸ εὔπορον θέρος μέλλῃ τελευτήσειν, μετοικοῦμεν· ἐν ταύτῃ δὲ τῇ πορείᾳ κατὰ μικρὸν κατακοιμωμένας ἡμᾶς ἀλεεινὰ ἕλη ὑποδέχεται, ὅπου οὐδενὸς ἐνδεῶς ἔχουσαι ἀναπαυόμεθα, ἕως ἂν νέον ἔαρ ὡς νέον βιωσομένους ἐνεγείρῃ.

---

24. *Μέροψ.*

Ἀετιδεὺς πρὸς βύαν συνετώτατόν τε καὶ πολυμαθέστατον εἶπε· δεῖ τοι πυνθάνεσθαί τί σου. Ὄρνιν γάρ φασιν εἶναι ὄνομα μέροπα, ὃς ὅταν αἴρηται, τὴν μὲν οὐρὰν προτείνων, τὴν δὲ κεφαλὴν πρὸς γῆν ἐπιστρέφων πέτεται. Ἆρ' ὀρθῶς λέγουσιν;

Οὐ δῆτα, ἔφη ὁ βύας· λῆρός γ' οὗτός ἐστι τοῦ ἀνθρώπου· οὗτος γὰρ αὐτὸς ἂν εἴη τοιοῦτός τις μέροψ· ὅτι δὴ ἀσμενέστατ' ἂν μηδ' ἕνα χρόνον τῆς γῆς αὐτῷ ἀφανοῦς γενομένης εἰς τὸν οὐρανὸν ἀνάπτοιτο.

---

25. *Πελικάν.*

Παῖδας καλοὺς καὶ ἀγαθοὺς οὐχ οἷοί τέ εἰσι γονεῖς ὑπερβολὴν ποιεῖσθαι εὖ ποιοῦντες. Ἀλλ' ὅταν ἄφρων πατὴρ ὑπὲρ φαύλου παιδὸς σῶμα καὶ χρήματα ἀναλίσκῃ, τότε δὴ στοργὴ μεταβάλλει εἰς ἄνοιαν.

Οἷον πελικὰν εὐσεβὴς ὁρῶν τὰ ἔκγονα δίψει ἀπολλύμενα στόματι τῷ ὀξεῖ τὸ στῆθος κατασχισάμενος τῷ ἑαυτοῦ αἵματι ἀνεζωπύρησεν. Ἀετὸς δ' αὐτῷ ἐπεβόησε· ναὶ μὰ Δία, θαυμάζω τε τὴν φιλοστοργίαν σου καὶ κατοικτείρω τὴν τυφλότητα. Ὅρα γάρ, ὅσους κακίστους κόκκυγας ἅμα τοῖς σεαυτοῦ ἐκγόνοις ἐκνενεόττευκας.

Καὶ εἶχεν οὕτως τῇ ἀληθείᾳ· κόκκυξ γὰρ ὁ ἀπαθὴς καὶ αὐτῷ τὰ ἑαυτοῦ ᾠὰ ὑπέβαλεν. — Ἆρ' ἄξιον ἦν τὸν ἀχαρίστων κοκκύγων βίον τοσούτου πρίασθαι;

---

26. *Λέων καὶ τίγρις.*

Καὶ λέων καὶ λαγὼς τοὺς ὀφθαλμοὺς ἀναπεπταμένος καθεύδει. Καὶ οὕτως ἐκεῖνός ποτ' ἀπειπὼν ἐντεταμένως

θηρασάμενος πρὸ τῆς εἰσόδου τοῦ φοβεροῦ ἄντρου ἐκάθευδεν.

Τίγρις δὲ παρατρέχων τοῦ μικροῦ ὕπνου κατεγέλασεν. Καὶ ἀνεβόησεν· οὗτος ἄρα λέων ὁ ἄφοβος. Νὴ Δία τοὺς ὀφθαλμοὺς ἀναπεπταμένος καθεύδει, οἷον λαγὼς δήπου.

Οἷον λαγώς; ἐβρυχᾶτο ἀναδραμὼν ὁ λέων καὶ τοῦ λαιμοῦ τὸν χλευαστὴν κατειλήφει. Καὶ ὁ μὲν τίγρις ᾑματωμένος ἐκυλινδεῖτο, ὁ δὲ νικῶν πραϋνθεὶς πάλιν κατεκοιμήθη.

27. Ταῦρος καὶ ἔλαφος.

Ταῦρος βραδὺς καὶ ἔλαφος ἐλαφρὸς ἐν λειμῶνι συνενείμαντο.

Ὁ μὲν ταῦρος· ὦ ἔλεφε, ἔφη, ἐὰν λέων ἡμῖν ἐπιπίπτῃ, ἀλλήλοιν συμμαχῶμεν· θαῤῥαλέως οὖν αὐτὸν ἀπωθώμεθα. Ὁ δ᾽ ἔλαφος εἶπε· τοῦτό γε μὴ προστάξῃς μοι· τί γὰρ ἐγὼ ἅτ᾽ ἀσφαλέστερον δυνάμενος ἀποδιδράσκειν πρὸς τὸν λέοντα ἅθ᾽ ἡττώμενος ἀγωνίζωμαι;

28. Ὄνος καὶ λύκος.

Ὄνος λύκῳ πεινῶντι ἀπήντησεν. Ἐλέησόν με, ἔφη δεδιὼς ὁ ὄνος· ἄθλιον γάρ εἰμι καὶ νοσοῦν θηρίον· ὅρα γάρ, οἵαν ἄκανθαν ἔχω ἐν τῷ ποδὶ πατήσας.

Ὁ δὲ λύκος· νὴ Δία, ἔφη· οἰκτείρω σε. Καὶ ἐνθύμιον ποιοῦμαι ἀπαλλάξαι σε τούτων τῶν ὀδυνῶν.

Καὶ οὐκ ἔφθη ταῦτ᾽ εἰπὼν καὶ τὸν ὄνον διεσπάραξεν.

29. Γραμμικὸς ἱππεύς.

Δύο παῖδες ζατρικίζειν βουλόμενοι ἀπόντος ἑνὸς τῶν ἱππέων περιττεύοντά τινα τῶν πεζῶν σημείῳ τινὶ ἱππέα ἀπέδειξαν.

Οἱ δ᾽ ἄλλοι ἱππεῖς ἐβόησαν· ἀλλὰ τίς πόθεν εἶ, ὦ οὗτος βραδύπους;

Οἱ δὲ παῖδες τὸ σκῶμμα ἀκούσαντες ἔφασαν· σιγᾶτε. Ἆρ᾽ οὐχ ἡμῖν ὑπηρετεῖ ταὐτὰ ἅπερ ὑμεῖς;

---

30. *Αἴσωπος καὶ ὄνος.*

Ὄνος πρὸς Αἴσωπον· ὅταν, ἔφη, πάλιν τι περὶ ἐμοῦ ἐξηγῇ, σοφόν τι καὶ ἀστεῖον ἀπόφαινέ με λέγοντα.

Ὁ δ᾽ Αἴσωπος· σὲ ἀστεῖόν τι, ἔφη· πῇ τοῦτ᾽ ἂν πρέποι; ἆρ᾽ οὐκ ἂν εἴποι τις σὲ μὲν εἶναι τὸν ἠθοποιόν, ἐμὲ δὲ τὸν ὄνον;

Η ΔΕΥΤΕΡΑ ΒΙΒΛΟΣ.

1. Χαλκοῦς ἀνδριάς.

Θαυμαστοῦ τινος τεχνίτου ἀνδριὰς χαλκοῦς δεινῆς πυρκαϊᾶς καύματι τετηκὼς μύδρος ἐγένετο. Τούτῳ δὲ τῷ μύδρῳ ἐντυχὼν ἄλλος τις τεχνίτης ἐπισταμένως νέον ἐξ ἐκείνου ἐξειργάσατο ἀνδριάντα, τὸ μὲν εἶδος τοῦ προτέρου διαφέροντα, χάριν δὲ καὶ κάλλος ὅμοιον.

Ταῦτ᾽ ἰδὼν ὁ φθόνος τοὺς ὀδόντας ἐμπρίει. Χρόνῳ δὲ φαῦλον παραμύθιον ἐπινοήσας τοιάδ᾽ εἶπεν· ὁ χρηστὸς ἐκεῖνος τοῦτο τὸ ἐπιεικὲς δὴ πλάσμα οὐκ ἂν ἀπέδειξε δήπου, εἰ μὴ ἡ τοῦ πρόσθεν ἀνδριάντος ὕλη αὐτῷ συνήνεγκεν.

2. Ἡρακλῆς.

Ἡρακλῆς εἰς Ὄλυμπον ἀναδεχθεὶς Ἥραν πάντων τῶν θεῶν πρώτην ἠσπάσατο, ὥστε πάντας τε τοὺς Ὀλυμπίους καὶ αὐτὴν τὴν Ἥραν θαυμάσαι. Ἀλλ᾽, ἔφασαν αὐτῷ, τὴν ἐχθρὰν οὕτω προτιμᾷς; Νὴ Δί᾽, ἔφη, αὐτὴν ταύτην. Αὕτη γὰρ κακῶς με ποιοῦσα ἀφορμήν μοι παρεῖχε τοῦ διαπράττεσθαι ταῦτ᾽, ἐξ ὧν τοῦ Ὀλύμπου μετασχεῖν ἄξιός εἰμι. Ἀκούσαντες τοῦ νέου θεοῦ τοῦτον τὸν λόγον οἱ τ᾽ Οὐράνιοι ἐπῄνεσαν καὶ Ἥρα ἱλάσθη.

3. Παῖς καὶ ὄφις.

Παῖς πρὸς ὄφιν ἥμερον παίζων ἔλεγεν· ὦ φίλον θηρίδιον, οὐκ ἄν σοι ὡμίλουν οὕτως, εἰ μὴ τὸν ἰὸν ἀφῃρέθης·

ὑμεῖς γὰρ οἱ ὄφεις κακοηθέστατά τε καὶ ἀχαριστότατά ἐστε τῶν ζῴων. Ἀνέγνων γάρ, ὅ τι ἔπαθε γεωργός τις δείλαιος, ὅς τινα τῶν προγόνων σου ἴσως ὄντα ὑπὸ βάτῳ τινὶ εὑρὼν ὑπὸ κρύους ἡμιθνῆτα καὶ ἐλεήσας εἰς τὸν κόλπον βαλὼν ἐθέρμαινεν. Ὁ δὲ πονηρὸς οὐκ ἔφθη θερμανθεὶς καὶ τὸν εὐεργέτην ἔδακεν· ὥσθ᾽ ὁ ἀγαθὸς καὶ εὔνους ἐκεῖνος ἀπέθανεν.

Ὑπερεκπλήττομαι, ἔφη ὁ ὄφις. Ὡς ἄδικοι δὴ οἱ ὑμέτεροι συγγραφεῖς εἰσιν. Οἱ γὰρ ἡμέτεροι οὐδαμῶς ταὐτὰ λέγουσιν. Ἐκεῖνος γὰρ ὁ εὔνους ἀνὴρ ἡγούμενος τὸν ὄφιν τῷ ὄντι ὑπὸ κρύους διεφθάρθαι αὐτὸν ἅτε τῶν ποικίλων ὄφεων ὄντα ἀνείλετο ὡς οἴκοι τὸ καλὸν δέρμα ἀποδερῶν. Ἆρα τοῦτ᾽ ἐπαινεῖς;

Πρὸς ταῦθ᾽ ὁ παῖς ἀπεκρίνατο· ἀλλὰ σίγα. Τίς γὰρ ἀχάριστος ὢν οὐκ ἂν δεινὸς εἴη ἀπολογεῖσθαι;

Ἐνταῦθα ὁ πατὴρ ἀκούσας αὐτοῖν διαλεγομένων ὑπολαβών· εὖ λέγεις, ἔφη, ὦ παῖ. Ἀλλ᾽ ὅμως, ἐάν ποτε πάνυ ἀχάριστόν τινα γενέσθαι ἀκούσῃς, πάντα ἀκριβῶς ἐξέταζε, πρὶν ἄνθρωπον τὸ αἴσχιστον ὄνειδος τοῦτο ὀνειδίσαι. Οἱ μὲν γὰρ ὡς ἀληθῶς εὐεργετικοὶ σπανίως παρ᾽ ἀχαρίστοις χάριν κατέθεντο, μᾶλλον δ᾽, οἶμαι, — ἵνα μὴ ἀτιμάζω τὸ ἀνθρώπειον γένος — οὐπώποτε. Οἱ δὲ μικρολόγοι τε καὶ φιλοκερδεῖς τῶν εὐεργετῶν, οὗτοι, ὦ παῖ, ἀντὶ τοῦ εὐχαριστεῖσθαι ἄξιοί εἰσιν ἀχαριστεῖσθαι.

4. *Λύκος ἀποθνήσκων.*

Λύκος ψυχοῤῥαγῶν τὸν παρελθόντα χρόνον ἐδοκίμαζεν. Καίπερ κακοῦργος ὤν, ἔφη, οὐ δοκῶ μοι τῶν ἐξωλεστάτων εἶναι. Ἄδικα μὲν γὰρ ἔπραξα δή, ἀλλὰ καὶ δίκαια πολλά. Οἷον μέμνημαι, ὅτι ἄρνα ποτὲ βληχώμενον, ὃς ἀπὸ τῆς ἀγέλης ἐπεπλάνητο, οὕτω πλησίον μοι γενόμενον, ὥστε ῥᾷστ᾽ ἂν διασπαράξαι, ὅμως οὐδὲν κακὸν ἐποίησα. Καὶ κατὰ τὸν αὐτὸν χρόνον οἷός τινος ἀκούων χλευαζούσης τε καὶ λοιδορούσης μετὰ θαυμαστοτάτης πραότητος καίπερ δέους οὐδενὸς ὄντος κυνῶν τῶν φυλαξόντων ἠνεσχόμην.

Ὑπολαβοῦσα δ᾽ ἀλώπηξ ἡ συνήθης αὐτῷ ἀποθνήσκοντι παροῦσα ἔφη· πάντων τούτων ἐγώ σοι μάρτυς. Ἀκρι-

βῶς γὰρ πάντα τὰ τότε παρόντα μνημονεύω. Ἦν γὰρ κατὰ τὸν αὐτὸν χρόνον, ὅτε τῷ ὀστῷ δεινῶς ἐμόχθεις, ὃ ὕστερον γέρανος ὁ χρηστοήθης ἐκ τοῦ λαιμοῦ σοι ἐξανέσπασεν.

5. Ταῦρος καὶ μόσχος.

Ταῦρος ῥωμαλέος διὰ τῶν τοῦ σταθμοῦ θυρῶν ταπεινῶν οὐσῶν ὠθούμενος τὴν ὑπερτέραν παραστάδα κατέθραυσεν. Μόσχος δ᾽ ἐβόα· ὅρα δή, ὦ ποιμήν· ἔγωγ᾽ οὐχ οὕτω σε βλάπτω. Ὁ δ᾽ εἶπεν· ἀλλὰ βουλομένῳ ἂν ἦν μοι, εἰ ἐδύνω.

Ταῦτα τῷ μόσχῳ οἱ μικροὶ φιλόσοφοι λέγουσιν. Πονηρὸν τὸν Βαίλιον, φασίν· ὅσους ἀνθρώπους χρηστοὺς τολμηρῶς τὴν σκέψιν ποιησάμενος παρελύπησεν. Ἀλλ᾽, ὠγαθοί, ἐχάρημεν ἂν παραλυπούμενοι, εἰ ἕκαστος ὑμῶν Βαίλιος ἕτερος γενέσθαι ἐδύνατο.

6. Ταῶνες καὶ κορώνη.

Κορώνη σοβαρὰ ταώνων ποικίλων πτεροῖς ἀποπεσοῦσιν ἑαυτὴν κοσμήσουσα, ἐπεὶ ἱκανῶς κεκοσμῆσθαι ᾤετο, τολμηρῶς τούτοις τοῖς μεγαλοπρεπέσιν Ἥρας ὄρνισι προσεμίχθη. Γνωσθείσῃ δ᾽ αὐτῇ ταχέως οἱ ταῶνες ἐφορμήσαντες τοῖς ὀξέσι στόμασιν ἐχρῶντο ὡς τὸν ψευδῆ κόσμον ἀφαιρησόμενοι.

Ἡ δὲ τὸ τέλος· παύσασθε, ἔφη· πάντα γὰρ ἤδη τὰ ὑμέτερα ἀπειλήφατε. Οἱ δὲ ταῶνες ἔνια τῶν λαμπρῶν τῆς κορώνης πτερῶν ἰδόντες· σίγα, ἔφασαν, ὦ δειλαία· οὐδὲ γὰρ ταῦθ᾽ οἷόν τε σοὶ εἶναι — καὶ διετέλεσαν κόπτοντες.

7. Λέων καὶ ὄνος.

Τῷ Αἰσώπου λέοντι μετ᾽ ὄνου, ᾧ δεινῶς ὀγκωμένῳ πρὸς τὸ τὰ θηρία θηρᾶν χρήσεσθαι ἤμελλεν, εἰς ὕλην ἰόντι κορώνη ὑβριστικὴ ἀπὸ τοῦ δένδρου ἐπεβόα· καλοῦ ἑταίρου. Ἆρ᾽ οὐκ αἰσχύνῃ ὄνῳ συνοδεύων; — Ὁ δὲ λέων·

ὅστις, ἔφη, χρήσιμός μοί ἐστι, τούτῳ χαρισαίμην ἄν που τὸ παρέπεσθαί μοι.

Οὕτω πάντες οἱ μέγα δυνάμενοι διανοοῦνται, ὅταν ἄνδρα δημότην τῆς ἑαυτῶν κοινωνίας ἀξιῶσιν.

8. Ὄνος καὶ λέων.

Ὄνῳ μετὰ τοῦ Αἰσώπου λέοντος, ὃς αὐτῷ ἀντὶ τοῦ κέρως τοῦ κυνηγετικοῦ ἐχρῆτο, εἰς ὕλην ἰόντι ἕτερος ὄνος τῶν γνωρίμων ἀπαντήσας· χαῖρε, ἔφη, ὦ ἄδελφε. Ὁ δ' ἀπεκρίνατο· ἀναιδές.

Τί δὲ τοῦτο; ἔφη ἐκεῖνος ὁ ὄνος. Ἆρα σὺ λέοντι συμπορευόμενος ἐμοῦ ἀμείνων εἶ; ἆρα κρείσσων ὄνου;

9. Τυφλὴ ἀλεκτορίς.

Ἀλεκτορὶς τυφλὴ γενομένη, ἐπεὶ σκαριφᾶσθαι εἰώθει, καίπερ τυφλὴ οὖσα οὔπω ἐπαύετο σπουδαίως σκαριφωμένη. Τί ὠφελεῖτο ἐκ τοῦ ἀφρόνως ἐργάζεσθαι; Ἄλλη δ' ἀλεκτορὶς ὁρῶσα, ἣ τῶν ἁπαλῶν ποδῶν ἐφείδετο, οὐπώποτ' ἀπολειπομένη ἐκείνης αὐτὴ οὐ σκαριζωμένη τοὺς τοῦ σκαριφᾶσθαι καρποὺς ἐλαμβάνετο. Ὅσους γὰρ χόνδρους ἡ τυφλὴ ἀλεκτορὶς ἐξορύττοι, τούτους ἡ ὁρῶσα κατεβίβρωσκεν.

Οὕτως Γερμανὸς μὲν ὁ φιλόπονος ποιεῖ τὰς συλλογάς, Γαλάτης δ' ὁ εὐτράπελος αὐτοῖς χρῆται.

10. Ὄνοι.

Ὄνοι κατηγοροῦντες πρὸς Δία ἀνθρώπων, ὅτι ὠμότερον αὐτοῖς χρῷντο· ἡμεῖς μέν, ἔφασαν, ἰσχυροὶ ὄντες τὰ νῶτα βαστάζομεν τὰ φορτία αὐτῶν, πρὸς ἃ ἀνάγκη καὶ ἐκείνους καὶ πᾶν ζῷον ἀσθενέστερον ἀπαγορεύειν· οἱ δ' ὅμως παίοντες ἀνελεημόνως βιάζονται σπεύδειν, ὅσον διὰ τὰ φορτία οὐδ' ἂν ἐδυνάμεθα, εἰ καὶ τοιοῦτοι ἐπεφύκειμεν. Ἀπαγόρευε οὖν αὐτοῖς, ὦ Ζεῦ, μὴ ἀγνωμονεῖν, εἴπερ ἔστιν ἀπαγορεύειν τοῖς ἀνθρώποις μὴ ἀδικεῖν. Δουλεύειν μὲν αὐτοῖς ἐθέλομεν, ὅτι τοιοῦτοι ὑπὸ σοῦ πεποιῆσθαι δοκοῦμεν· ἀλλὰ παίεσθαι ἀναίτιοι ὄντες οὐ βουλόμεθα.

Πρὸς ταῦτα τῷ ὑπὲρ αὐτῶν λέγοντι Ζεὺς ἀπεκρίνατο· δίκαια μὲν ταῦτ᾽ αἰτεῖ, ὦ ζῷον· ἀλλ᾽ οὐχ οἷόν τε ὂν ὁρῶ τοὺς ἀνθρώπους ἀναπείθειν, ὡς ἡ κατὰ φύσιν βραδυτὴς ὑμῶν οὐκ ἔστιν ἀργία. Καὶ ἕως ἂν τοῦτο νομίζωσι, παισθήσεσθε. Ἀλλ᾽ ἐνθυμοῦμαι, ὅπως ἂν τὴν συμφορὰν ὑμῶν ἐπικουφίζω. — Ἀπάθειά γ᾽ ὑμῖν ἀπὸ τοῦ νῦν γενήσεται· καὶ τὸ δέρμα ὑμῶν πρὸς τὰς πληγὰς ἀποσκληρυνθὲν τὸν τοῦ ἐλαύνοντος βραχίονα καταπονήσει.

Ὦ Ζεῦ, ἐβόων οἱ ὄνοι, σὺ ἀεὶ σοφὸς εἶ καὶ ἵλεως. — Εὐθυμούμενοι οὖν ἀπὸ τοῦ θρόνου ἀπῄεσαν ὡς θρόνου ὄντος τῆς κοινῆς εὐνοίας.

11. Ἀμνὸς φυλαττόμενος.

Ὕλαξ τῶν τις λυκείων κυνῶν τὸ γένος ἀμνὸν πρᾷον ἐφύλαττεν. Τὸν δ᾽ ἰδὼν Λυκώδης, ὃς καὶ αὐτὸς τρίχας τε καὶ ῥύγχος καὶ ὦτα λύκῳ ἢ κυνὶ ὁμοιότερος ἦν, ἐπιφερόμενος ἐβόα· ὦ λύκε, τί σοὶ μέτεστι τούτου τοῦ ἀμνοῦ;

Αὐτὸς σὺ λύκος, ἔφη Ὕλαξ. (Οἱ γὰρ κύνες ἀμφότεροι οὐκ ἐγνώρισαν ἀλλήλους.) Ἄπιθι· ἢ καταμαθήσῃ, ὅτι ἐγὼ φύλαξ αὐτοῦ εἰμι.

Εἶτα Λυκώδους μὲν τὸν ἀμνὸν Ὕλακα βίᾳ ἀφαιρουμένου, τοῦ δ᾽ Ὕλακος βίᾳ κατέχοντος ὁ ἄθλιος ἀμνὸς — θαυμαστῶν κηδεμόνων — διαρρήγνυται.

12. Ζεὺς καὶ Ἀπόλλων.

Διὸς καὶ Ἀπόλλωνος ἐριζόντων, ὁπότερος ἄριστα τοξεύοι, Ἀπόλλων· πειρασώμεθα, ἔφη. Καὶ ἐκτείνας τὸ τόξον οὕτως μέσου τοῦ συγκειμένου σκοποῦ ἔτυχεν, ὥστε Ζεὺς ἔγνω ἀδύνατος ὢν αὐτοῦ περιγενέσθαι. — Ὁρῶ μέν, ἔφη, τῷ ὄντι κάλλιστά σε τοξεύοντα· ὥστε χαλεπόν μοι ἔσται νικᾶν. Ἀλλ᾽ εἰς αὖθις πειράσομαι. — Ἔτι δὲ καὶ νῦν μέλλει πειρᾶσθαι Ζεὺς ὁ σοφός.

13. Ὕδρα.

Ζεὺς μὲν ἤδη τοῖς βατράχοις ἄλλον βασιλέα ἐπεπόμφει, ἀντὶ ξύλου ἀπράγμονος ὕδραν πολυφάγον.

Οἱ δὲ βάτραχοι ἐβόων· σύγε βασιλεὺς εἶναι ἡμῶν φάσκων τί ἡμᾶς κατεσθίεις; Ἡ δ᾽ ὕδρα ἀπεκρίνατο· ὅτι με ᾐτήσασθε.

Ἔνθα δὴ τῶν τις βατράχων τοῖς ὀφθαλμοῖς ἤδη ὑπ᾽ ἐκείνης καταπινόμενος ἀνεβόα· ἔγωγέ σε οὐκ ᾐτησάμην. Οὐ δῆτα; ἔφη ἡ ὕδρα. Τοσούτῳ μᾶλλον δίκαιος εἶ κατεσθίεσθαι, ὅτι με οὐκ ᾔτησω.

---

14. Ἀλώπηξ καὶ πρόσωπον.

Πάλαι ἀλώπηξ τὸ κοῖλον καὶ μέγα κεχηνὸς πρόσωπον ὑποκριτοῦ τινος εὑροῦσα· οἷα κεφαλή, ἔφη θεωμένη. Ἐγκεφάλου μὲν ἐνδεής, τὸ δὲ στόμα κεχηνυῖα. Ἆρ᾽ οὐκ ἂν ἀδολέσχου κεφαλὴ ἥδ᾽ ἐγένετο;

Αὕτη ἡ ἀλώπηξ ἐμπείρως εἶχεν ὑμῶν, ὦ ἀπεραντολόγοι, οἳ τὴν ἀναιτιωτάτην τῶν ἡμετέρων αἰσθήσεων ἰσχυρῶς κολάζετε.

---

15. Κόραξ καὶ ἀλώπηξ.

Κόραξ κρέας πεφαρμαγμένον, ὃ κηπεὺς ὀργισθεὶς ταῖς τοῦ προσοίκου αἰλούροις παρέβαλε, τοῖς ὄνυξιν ἀπήνεγκεν.

Μέλλοντος δ᾽ ἤδη αὐτοῦ ἐπὶ παλαιᾶς δρυὸς κατέδεσθαι ἀλώπηξ παραγενομένη· χαῖρε, ἔφη, ὦ Διὸς ὄρνι. — Ὁ δὲ κόραξ ἐπήρετο· τίνα με νομίζεις; — Τίνα σε νομίζω; ἔφη ἡ ἀλώπηξ. Ἆρα σὺ οὐκ εἶ ἀετὸς ὁ ἐῤῥωμένος, ὃς καθημέριος ἀπὸ τῆς τοῦ Διὸς δεξιᾶς ἐπὶ τῆσδε τῆς δρυὸς κατέρχεται ἐμὲ τὸν δείλαιον δειπνιῶν; διὰ τί εἰρωνεύει; Ἆρ᾽ οὐκ ἐχόμενον τῷ νικητικῷ ὄνυχι ὁρῶ τὸ ᾐτημένον δῶρον, ὃ διὰ σοῦ ὁ σὸς θεός μοι πέμπων ἔτι διαγίγνεται;

Θαυμάσας δ᾽ ὁ κόραξ καὶ ὑπερχαίρων, ὅτι ἀετὸς ἐνομίζετο· οὐ δεῖ, ἔφη πρὸς ἑαυτόν, ταύτην τὴν οἴησιν τῆς ἀλώπεκος ἐξαιρεῖν. — Καὶ ἀνοήτως μεγαλοφρονούμενος τὸ ἅρπασμα κατέβαλε καὶ ὑπερηφάνως ᾤχετο ἀποπτόμενος.

Ἡ δ᾽ ἀλώπηξ γελάσασα τὸ κρέας ἀνέλαβε καὶ κακῶς ἡδομένη κατέφαγεν. Ἀλλὰ μετ᾽ ὀλίγον ἡ ἡδονὴ εἰς λύπην μετέβαλε· τοῦ γὰρ φαρμάκου ποιεῖν ἀρξαμένου ἀπεγένετο. Εἴθε μηδέποτ᾽, ὦ κατάρατοι κόλακες, ἄλλο τι ἢ φάρμακον ἐξ ἐπαίνου κτῷσθε.

16. *Φιλάργυρος.*

Φιλάργυρος ὀδυρόμενος πρὸς τὸν γείτονα ἔλεγεν· οἴμοι τῆς συμφορᾶς· τὸν γὰρ θησαυρόν, ὃν ἐν τῷ ἐμαυτοῦ κήπῳ κατώρυξα, ταύτης τῆς νυκτός τις ἐξέκλεψε καὶ λίθον μιαρὸν ἀντέθηκεν.

Ὁ δὲ γείτων ἀπεκρίνατο· ἀλλὰ σὺ τῷ θησαυρῷ οὐκ ἂν ἐχρήσω. Νόμισον οὖν τὸν λίθον εἶναι τὸν θησαυρὸν καὶ οὐδὲν πενέστερος ἔσῃ.

Ὁ δὲ φιλάργυρος ἀντέλεγεν· ἀλλ᾽ εἰ καὶ μηδὲν πενέστερος εἴην, ἆρ᾽ οὐκ ἄλλος τις τοσούτῳ πλουσιώτερος; Ἄλλον τινὰ τοσούτῳ πλουσιώτερον εἶναι. Μαίνομαι.

17. *Κόραξ.*

Ἀλώπηξ ὁρῶσα κόρακα τοὺς τῶν θεῶν βωμοὺς διαρπάζοντα καὶ ἀπὸ τῶν θυσιῶν συντρεφόμενον ὧδε διενοήθη· εἰ γὰρ εἰδείην, πότερον ὁ κόραξ τῶν θυσιῶν μετέχει, ὅτι μαντικὸς ὄρνις ἐστίν· ἢ μαντικὸς ὄρνις νομίζεται, ὅτι τῶν θυσιῶν τοῖς θεοῖς κοινωνεῖν οὐκ αἰσχύνεται.

18. *Ζεὺς καὶ οἶς.*

Οἶς ὑπὸ πάντων τῶν θηρίων κακῶς πάσχουσα ὡς Δία ἐλθοῦσα ἐδεήθη μειῶσαι τὴν ἑαυτῆς δυστυχίαν.

Ὁ δὲ Ζεὺς προθυμούμενος πρὸς τὴν οἶν εἶπε· πάνυ γ᾽, ὦ εὐσεβὲς ζῷον, μανθάνω ἀνοπλότερόν σε ποιήσας. Αἱροῦ οὖν, πῶς τοῦτο τὸ κακὸν κάλλιστ᾽ ἀκέσωμαι. Ἆρα τὸ στόμα σου ὀδοῦσι φοβεροῖς καὶ τοὺς πόδας ὄνυξιν ὁπλίσω;

Μὴ δῆτ᾽, ἔφη ἡ οἶς· οὐ γὰρ βούλομαι οὐδενὸς μετέχειν τοῖς ἀγρίοις τῶν θηρίων.

Ἀλλ᾽, ἔφη ὁ Ζεύς, φάρμακον εἰς τὸ πτύαλόν σου ἐνθῶ;

Οἴμοι, ἔφη ἡ οἶς· ὄφεις γὰρ οἱ ἰοβόλοι μάλιστα μισοῦνται.

Ἀλλὰ τί δῆτα ποιήσω; κέρα τῷ μετώπῳ σου ἐμφυτεύσω καὶ ῥώμην τῷ αὐχένι ἐμποιήσω.

Μηδὲ τοῦτ᾽, ὦ ἵλεως πάτερ· τάχα γὰρ ἂν εἰθιζοίμην κυρίττειν ὥσπερ τράγος.

Καίτοι, ἦ δ᾽ ὅς, ὁ Ζεύς, αὐτήν σε δεῖ βλάπτειν δύνασθαι, εἰ μέλλουσιν ἄλλοι εὐλαβεῖσθαι τὸ μὴ βλάπτειν σέ.

Πρὸς ταῦθ᾽ ἡ οἶς οἰμώξασα· ἔα με, ὦ εὐμενὲς πάτερ, εἶναι τοιαύτην, οἵα εἰμί. Τὸ γὰρ δύνασθαι βλάπτειν φοβοῦμαι, μὴ καὶ τὸ ἐθέλειν βλάπτειν ἐμποιήσῃ· κάλλιον δ᾽ ἀδικεῖσθαι ἢ ἀδικεῖν.

Καὶ ὁ μὲν Ζεὺς εὐλόγησε τὴν εὐσεβῆ οἶν, ἡ δ᾽ εὐθὺς ἐπαύσατο μεμψιμοιροῦσα.

19. Ἀλώπηξ καὶ τίγρις.

Ἀλώπηξ πρὸς τίγριν εἶπεν· εἰ γὰρ ὁμοία σοὶ εἴην τὴν ταχυτῆτα καὶ ῥώμην.

Ἄλλο δ᾽ οὐδὲν ἔχω, ἐπήρετο ὁ τίγρις, ὃ σοι ἀρέσκει;

Οὐκ ἂν εἰδείην. — Οὐδὲ τὸ καλὸν δέρμα μου; ἔφη ὁ τίγρις. Ποικίλον ἐστὶν οἷον ἡ ψυχή σου, καὶ τὸ εἶδος πρὸς τὸ ἦθος καλῶς ἂν ἁρμόσειεν.

Ἡ δ᾽ ἀλώπηξ ἀπεκρίνατο· δι᾽ αὐτὸ τοῦτο μάλιστα τοῦτο παραιτοῦμαι. Οὐ γὰρ χρή με φαίνεσθαι, ὁποῖός εἰμι. Ἀλλ᾽ ὡς οἱ θεοί με τὰς τρίχας πτερῶν ἀνταλλάττεσθαι βούλοιντο.

20. Ἀνὴρ καὶ κύων.

Ἀνὴρ ὑπὸ κυνὸς δηχθεὶς ὀργισθεὶς ἀπέκτεινε τὸν κύνα. Καὶ ἐπικινδύνου εἶναι δοκοῦντος τοῦ δήγματος ἰατρὸν ἔδει ἐπικαλεῖσθαι.

Ὁ δ᾽ ἐμπειρικὸς ὤν· ἐνταῦθα, ἔφη, οὐκ οἶδα ἄμεινον ἴαμα ἢ ἄρτου ψωμὸν εἰς τὸ δῆγμα ἐμβάψαντα δοῦναι φαγεῖν τῷ κυνί. Ἐὰν δὲ μηδὲν ὄφελος ᾖ ταύτης τῆς ὁμοιο-

παθοῦς θεραπείας, εἶτα — ταῦτ᾽ εἰπὼν ὁ ἰατρὸς ἐκίνησε τὸν ὦμον.

Ταῦτ᾽ ἀκούσας ὁ ἀνὴρ ἀνεβόα· φεῦ τῆς ἀκραχολίας. Οὐδὲν ὄφελος αὐτῆς· τὸν γὰρ κύνα ἀπέκτεινα.

21. Βότρυς.

Γνώριμός μοι ἐστι τῶν ποιητῶν τις, ὃν μετὰ θορύβου θαυμάζοντες οἱ μικροὶ ζηλωταὶ πολὺ μείζω ἔβλαψαν ἢ μετὰ φθόνου καταφρονοῦντες οἱ κριτικοί.

Ἀλλ᾽ ὄμφαξ γέ τοί ἐστιν, ἡ ἀλώπηξ ἔφη περὶ τοῦ βότρυος πλεῖστον χρόνον μάτην προσαναλαμένη. Ταῦτα δὲ στρουθὸς ἀκούσας· ἆρ᾽ οὑτοσὶ ὁ βότρυς, ἔφη, ὄμφαξ ἂν εἴη; οὔτοι τοιοῦτος εἶναι φαίνεταί μοι. Προσπτάμενος δὲ καὶ γευσάμενος, ἐπεὶ ὑπερβαλλόντως ἐκεῖνος ἐδόκει γλυκύς, ἑκακὸν ἀδελφοὺς λίχνους προσεκαλέσατο. Ἀλλὰ γεύσασθε, ἐβόα· γεύσασθε δή. Τοῦτον τὸν καλὸν βότρυν ἡ ἀλώπηξ ἐμέμψατο ὡς ὄμφακα οὖσαν. — Πάντων οὖν γευσαμένων ἐν ὀλίγῳ χρόνῳ οὕτως ἐκακοῦτο ὁ βότρυς, ὥστε μηδεπώποτ᾽ ἔτι ἀλώπεκα πρὸς αὐτὸν ἁλέσθαι.

22. Ἀλώπηξ.

Ἀλώπηξ διωκομένη ἐπὶ τεῖχος ἀνέφυγεν. Ἵνα δ᾽ ἐπὶ θάτερα εὖ καταβαίη, βάτου ἐγγὺς οὔσης ἐπιλαβομένη ἐσώθη μὲν κατ᾽ αὐτῆς καθεῖσα ἑαυτήν, ταῖς δ᾽ ἀκάνθαις ἀλγεινῶς ἐτιτρώσκετο. Ἐνταῦθα δὴ ἡ ἀλώπηξ· πονηροὶ ἐπίκουροι, ἔφη, οἳ ἐπικουρεῖν οὐ δύνασθε μὴ ἅμα βλάπτοντες.

23. Οἶς.

Διὸς γάμους ἑστιῶντος, ὅτε πάντα τὰ ζῷα δῶρα προσέφερον, Ἥρα τὴν οἶν ἐπόθεσεν.

Τί μέλλει ἡ οἶς; ἐπήρετο ἡ θεός. Τί γὰρ ἡ εὐσεβὴς οἶς εὖ φρονοῦσα τὸ δῶρον ἡμῖν προσφέρειν ἀμελεῖ;

Καὶ ὁ κύων ὑπολαβὼν εἶπε· μὴ ἀγανακτήσῃς, ὦ

θεός. Τὴν γὰρ οἶν ἔτι καὶ τήμερον εἶδον· πάνυ δ' ἐλυπεῖτο καὶ μέγα ὠδύρετο.

Καὶ τί ᾗ οἷς ὠδύρετο; ἐπήρετο ἡ θεὸς ἤδη ἐμπαθῶς διακειμένη.

Τλημονεστάτη ἐγώ, ἔφη. Νῦν γὰρ οὔτ' ἔριον οὔτε γάλα ἔχω· τί τῷ Διὶ δώσω; ἆρ' ἐγώ, μόνη δὴ ἐγὼ πρὸς αὐτὸν ἄδωρος ἀφικνῶμαι; Μᾶλλον οὖν αἱροῦμαι προσελθοῦσα τῷ ποιμένι δεῖσθαι αὐτοῦ με θύειν.

Ἐν τούτῳ δ' ἅμα ταῖς τοῦ ποιμένος εὐχαῖς ἡ κνίσσα τῆς τυθείσης οἰός, ὀσμὴ ἡδεῖα τῷ Διί, διὰ τῶν νεφελῶν διίκετο. Καὶ τότ' ἂν ἡ Ἥρα πρῶτον ἐδάκρυσεν, εἰ δάκρυα ἀθάνατον ὀφθαλμὸν ἔτεγγεν.

24. Αἶγες.

Αἶγες Διὸς ἐδεήθησαν καὶ αὐταῖς κέρα δοῦναι· τὸ γὰρ πρῶτον αἱ αἶγες ἄκερῳ ἦσαν.

Ὁ δὲ Ζεύς· καλῶς βουλεύεσθε, ὧν δεῖσθε. Τῷ γὰρ τῶν κερῶν δώρῳ ἄλλο τι ἀδιαλύτως προσμέμικται, ὃ οὐκ ἂν τοσοῦτον ὑμῖν ἀρέσκοι.

Τῶν δ' αἰγῶν ἐμμενουσῶν τῇ δεήσει ὁ Ζεὺς εἶπεν· ἔχετε δὴ κέρα.

Καὶ ταῖς αἰξὶ κέρα ἔφυ — καὶ πώγων. Τὸ γὰρ πρῶτον αἱ αἶγες καὶ ἀπώγωνες ἦσαν. Φεῦ, ὡς ἐλυποῦντο τῷ πώγωνι τῷ αἰσχρῷ. Πολὺ μᾶλλον ἢ τοῖς κέρασι τοῖς εὐπρεπέσιν ἥδοντο.

25. Μηλέα αὐτοφυής.

Εἰς τὸ κοῖλον στέλεχος μηλέας αὐτοφυοῦς σμῆνος μελιττῶν κατῳκίσθη. Τὸ δὲ δένδρον τῷ μέλιτι ἀφθόνως ἐμπλησθὲν οὕτως ἐπήρθη, ὥστε πάντων τῶν δένδρων ἀνθ' ἑαυτοῦ κατεφρόνησεν.

Ῥοδῆ δ' αὐτῇ ἐπεβόα· πονηρὸν τὸ μέγα φρονεῖν ἐπ' ἀλλοτρίοις γλυκύσμασιν. Ἆρ' ὁ καρπός σου διὰ τοῦθ' ἧττον πικρός; Ἀλλ' εἰς τοῦτον τὸ μέλι ἀνάπεμψον, εἰ δύνασαι· καὶ τότ' ἤδη ὁ ἄνθρωπός σε ἐγκωμιάσεται.

26. Ἔλαφος καὶ ἀλώπηξ.

Ἔλαφος πρὸς ἀλώπεκα εἶπε· νῦν ἡμεῖς οἱ ἄθλιοι, ἃ τῶν ζῴων ἐσμὲν ἀσθενέστερα, ἀπολώλαμεν. Λέων γὰρ σύμμαχος γεγένηται λύκῳ.

Λύκῳ; ἔφη ἡ ἀλώπηξ. Τοῦτό γ' ἔτι ἀνεκτόν. Ὁ μὲν λέων βρυχᾶται, ὁ δὲ λύκος ὠρύεται· ὥστ' ἔτι πολλάκις ἐν καιρῷ φεύγοντες σῴζεσθαι δυνήσεσθε. Ἀλλὰ μὴν τότ' ἂν πάντες ἡμεῖς ἀπολώλοιμεν, εἰ λέοντι τῷ κρατερῷ δόξειε λυγκὶ τῷ ἑρπετῷ συμμαχῆσαι.

27. Βάτος.

Ἰτέα βάτον ἠρώτησεν· ἀλλ' εἰπέ μοι, διὰ τί τῆς τῶν παριόντων ἀνθρώπων ἐσθῆτος τοσοῦτον ἐπιθυμεῖς; τί βούλει; σοὶ τί ὄφελος αὐτῆς;

Οὐδέν γ', ἔφη ἡ βάτος. Οὐδ' ἀφελέσθαι αὐτὸν βούλομαι αὐτήν· μόνον διαῤῥῆξαι αὐτὴν βούλομαι.

28. Ἐρινύες.

Πλούτων μὲν πρὸς τῶν θεῶν ἄγγελον εἶπεν· αἱ ἐρινύες μου γηράσκουσί τε καὶ ἀπαγορεύουσι· δεῖ μοι νεαρῶν. Ἴθι δή, ὦ Ἑρμῆ, καί μοι ἄνω ἐπὶ τῆς γῆς τρεῖς γυναῖκας χρηστὰς ἔκλεγε. Ὁ μὲν οὖν Ἑρμῆς ἀπῆλθεν. —

Ὀλίγῳ δ' ὕστερον Ἥρα πρὸς τὴν θεράπαιναν εἶπεν· ὦ Ἶρι, ἆρ' ἂν οἴοιο ἐν ἀνθρώποις δύο ἢ τρεῖς παρθένους παντάπασι σπουδαίας τε καὶ ἁγνὰς ἀνευρεῖν; εὖ ἴσθι, παντάπασι σπουδαίας· ἵνα καταγελάσω Κυθερείας, ἣ ὡς πᾶν τὸ θῆλυ καταστρεψαμένη σεμνύνεται. Ἴθι δὴ καὶ σκόπει, ὅπου τὰς τοιαύτας ἐξευρήσεις. Καὶ ἀπῆλθεν ἡ Ἶρις.

Οἷον οὖν μυχὸν τῆς γῆς οὐκ ἀνεζήτησεν ἡ χρηστὴ Ἶρις. Οὐ μὴν ἀλλ' ὅμως μάτην ζητήσασα μόνη ἐπανῆλθεν, ἡ δ' Ἥρα προσεῖπεν αὐτήν· ἦ δυνατόν; Φεῦ τῆς ἁγνείας, φεῦ τῆς αἰδοῦς.

Ἡ δ' Ἶρις εἶπεν· ἣν μὲν τρεῖς παρθένους σοι προσαγαγεῖν, αἳ πᾶσαι ἐγένοντο παντάπασι σπουδαῖαί τε

καὶ ἁγναί· αἳ πᾶσαι οὐπώποτ᾽ ἀνδρὶ προσεμειδίασαν· αἳ πᾶσαι καὶ τὸν ἀμυδρότατον ἔρωτα ἐν ταῖς ψυχαῖς ἀπέσβησαν· ἀλλὰ λυποῦμαι ὑστερίσασα.

Ὑστερίσασα; ἔφη ἡ Ἥρα. Πῶς δή;

Ἄρτι γὰρ ἔφθη Ἑρμῆς ἀπαγαγὼν αὐτὰς τῷ Πλούτωνι.

Τῷ Πλούτωνι; ἀλλὰ τί δὴ χρήσεται ὁ Πλούτων ταύταις ταῖς αἰδοίαις;

Ἐρινύσιν.

29. *Τειρεσίας.*

Τειρεσίας ποτὲ τὴν βακτηρίαν λαβὼν ἔξω ἐπορεύετο. Περιπατῶν δὲ διὰ τεμένους ἐν μέσῳ τῷ τεμένει, οὗ τρεῖς ὁδοὶ ἐσχίζοντο, δύο ὄφεις μιγνυμένους εἶδεν. Καὶ ὁ Τειρεσίας τὴν βακτηρίαν ἐπάρας τοὺς ὄφεις τοὺς ἐρῶντας ἔπαισεν. Ἀλλ᾽ ἰδοὺ δή — ἅμα θ᾽ ἡ βακτηρία ἐπὶ τῶν ὄφεων κατέπεσε καὶ Τειρεσίας γυνὴ ἐγένετο.

Μετὰ δ᾽ ἐννέα μῆνας Τειρεσίας ἡ γυνὴ αὖθις διὰ τούτου τοῦ τεμένους περιπατῶν ἐν τῷ αὐτῷ τόπῳ, οὗ αἱ τρεῖς ὁδοὶ ἐσχίζοντο, δύο ὄφεις μαχομένους εἶδεν. Καὶ Τειρεσίας αὖθις τὴν βακτηρίαν ἐπάρασα τοὺς ὄφεις τοὺς τεθυμωμένους ἔπαισε, καὶ ἰδού — τῆς βακτηρίας ἅμα τοὺς μαχομένους ὄφεις χωριζούσης Τειρεσίας ἡ γυνὴ μεταλλαγεῖσα ἀνὴρ ἀποκατέστη.

30. *Ἀθηνᾶ.*

Ἀλλ᾽ ἔα δή, ὦ φίλε, ἔα τοὺς μικροὺς καὶ κακοήθεις ἀνθρώπους, οἳ τῆς αὐξανομένης δόξης σοι φθονοῦσιν. Τί γὰρ κομψευόμενος τὰ ὀνόματα αὐτῶν λήθης ἄξια ὄντα ἀπαθανατιεῖς;

Οἱ γίγαντες μανικῶς πρὸς τοὺς θεοὺς πολεμοῦντες τῇ Ἀθηνᾷ δράκοντα φοβερὸν ἀντέστησαν. Ἡ δ᾽ Ἀθηνᾶ τὸν δράκοντα λαβοῦσα καρτερᾷ χειρὶ εἰς τὸν οὐρανὸν ἀνέῤῥιψεν. Ἐκεῖ δ᾽ ἔτι καὶ νῦν λάμπει· καὶ ὅπερ πολλάκις μεγάλων ἔργων χάρις ἦν, τοῦτο τοῦ δράκοντος ἐγένετο τίσις ζηλωτή.

Η ΤΡΙΤΗ ΒΙΒΛΟΣ.

1. Ἀνὴρ τόξον ἔχων.

Ἀνήρ τις καλὸν τόξον εἶχεν ἐβένιον, ᾧ ἐπὶ πολύ τε καὶ ἀσφαλέτατα τοξεύων περὶ πλείστου ἐποιεῖτο. Ἀλλ' ἐπιμελῶς ποτ' αὐτὸ θεώμενος εἶπεν· ὀλίγῳ δῆτα παχύτερον εἶ. Κόσμος γὰρ πᾶς σου ἡ λειότης. Φεῦ. — Ἀλλ', ἔφη σκεψάμενος, ἀκεστὸν τοῦτο. Ἰὼν γὰρ τὸν ἱκανώτατον κελεύσω τεχνίτην εἰκόνας τῷ τόξῳ ἐγγλύφειν. Ὁ μὲν οὖν ᾔει, ὁ δὲ τεχνίτης θήραν ὅλην τῷ τόξῳ ἐνέγλυψε· καὶ μὴν τί πρὸς τόξον ἐπιτηδειότερον ἦν θήρας;

Ὁ δ' ἀνὴρ περιχαρὴς ὢν εἶπεν· ἦ μὴν ἄξιον, ὦ τόξον, τούτων εἶ τῶν κοσμημάτων. — Ἐν τούτῳ δ' ἀποπειρώμενος αὐτοῦ ἐντείνει, καὶ τὸ τόξον — κατεάγη.

2. Ἀηδὼν καὶ κορυδαλλίς.

Τί ἂν τις εἴποι πρὸς ἐκείνους τῶν ποιητῶν, οἳ χαίρουσι μετέωροι ὑπὲρ τῆς τῶν πολλῶν ἀναγνωστῶν συνέσεως φερόμενοι; Τί ἄλλο ἢ ὅπερ ἀηδών ποτε πρὸς κορυδαλλίδα εἶπεν· ἆρ' ἐπὶ τούτῳ μόνον, ὦ φίλη, ὡς δυνατὸν μάλιστα αἰωρῇ, ἵνα μὴ ἀκούῃ;

3. Σαλομῶντος εἴδωλον.

Γέρων τις χρηστὸς μεγίστους δι' ἡμέρας πόνους ὑφίστατο, ὥστε τοὺς ἑαυτοῦ ἀγροὺς αὐτόχειρ ἀροῦν καὶ αὐτόχειρ τὸ καθαρὸν σπέρμα ἐμπάττειν εἰς τὸν χαῦνον κόλπον τῆς γῆς τῆς ἐθελουργοῦ.

Ἐξαίφνης δέ ποθ᾽ ὑπὸ τῇ εὐρείᾳ φιλύρας σκιᾷ θεῖόν τι φάσμα ἔμπροσθεν αὐτοῦ καθειστήκει. Ὁ δὲ γέρων ἐξεπλάγη.

Ἐγώ εἰμι Σαλομών, ἔφη τὸ φάσμα προσφιλῶς. Τί ἐνθάδε πράττεις, ὦ γέρον;

Εἰ σὺ Σαλομὼν εἶ, ἦ δ᾽ ὅς, ὁ γέρων, τί ἐρωτᾷς; Σὺ μὲν νέον με ὄντα πρὸς τὸν μύρμηκα ἔπεμψας· ἐγὼ δ᾽ αὐτοῦ τὸν βίον σκοπῶν ἔμαθον παρ᾽ αὐτοῦ σπουδαιότητι χρῆσθαι καὶ συλλέγειν. Ἃ δὲ τότ᾽ ἔμαθον, ταῦτ᾽ ἔτι καὶ νῦν πράττω.

Τὸ δὲ φάσμα· ἡμίσειαν μόνον, ἔφη, ἔμαθες τὴν τέχνην. Πάλιν οὖν ἐλθὼν παρὰ τὸν μύρμηκα ἤδη παρ᾽ αὐτοῦ κατάμαθε καὶ τὸ ἐν τῷ χειμῶνι τοῦ βίου ἀναπαύεσθαι καὶ χρῆσθαι τοῖς παρεσκευασμένοις.

4. Δῶρον δαιμόνιον;

Πρὸς τὴν σκάφην τὴν παιδός τινος βασιλείου, ὃς μετὰ ταῦτ᾽ ἐγένετο τῶν κάλλιστα τὴν ἑαυτοῦ γῆν διοικησάντων, δύο δαίμονες εὐεργετικαὶ παρέστησαν.

Ἡ μὲν εἶπε· τῷδε τῷ κεχαρισμένῳ μοι τὴν ὀξεῖαν δίδωμι ὄψιν τὴν τοῦ ἀετοῦ, ὃν ἐν τῇ εὐρείᾳ ἑαυτοῦ ἀρχῇ οὐδ᾽ ὁ μικρότατος κώνωψ λανθάνει.

